πιστός, τινάσσων χερσὶ πύρπνοον βέλος.
οὐδὲν γὰρ αὐτῷ ταῦτ᾽ ἐπαρκέσει τὸ μὴ οὐ[1])
πεσεῖν ἀτίμως πτώματ᾽ οὐκ ἀνασχετά·
τοῖον παλαιστὴν νῦν παρασκευάζεται
ἐπ᾽ αὐτὸς αὐτῷ, δυσμαχώτατον τέρας·
ὃς δὴ κεραυνοῦ κρείσσον᾽ εὑρήσει[2]) φλόγα
βροντάς[3]) θ᾽ ὑπερβάλλοντα καρτερὸν κτύπον,
θαλασσίαν τε, γῆς τινάκτορ᾽ ἔννοσιν[4]),
τρίαιναν, αἰχμὴν τὴν Ποσειδῶνος, σκεδᾷ.
πταίσας δὲ τῷδε πρὸς κακῷ[5]) μαθήσεται,
ὅσον τό τ᾽ ἄρχειν καὶ τὸ δουλεύειν δίχα.

ΧΟΡΟΣ.

σύ θην, ἃ χρῄζεις, ταῦτ᾽ ἐπιγλωσσᾷ Διός.

ΠΡΟΜΗΘΕΥΣ.

ἅπερ τελεῖται, πρὸς δ᾽ ἃ βούλομαι λέγω.

ΧΟΡΟΣ.

καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα[6]);

ΠΡΟΜΗΘΕΥΣ.

καὶ τῶνδ᾽ ἔθ᾽[7]) ἕξει δυσλοφωτέρους πόνους.

ΧΟΡΟΣ.

πῶς δ᾽ οὐχὶ[8]) ταρβεῖς τοιάδ᾽ ἐκρίπτων ἔπη;

ΠΡΟΜΗΘΕΥΣ.

τί δ᾽ ἂν φοβοίμην, ᾧ θανεῖν οὐ μόρσιμον;

ΧΟΡΟΣ.

ἀλλ᾽ ἆθλον ἄν σοι τοῦδ᾽ ἔτ᾽[9]) ἀλγίω πόροι.

ΠΡΟΜΗΘΕΥΣ.

ὁ δ᾽[10]) οὖν ποιείτω· πάντα προσδοκητά μοι.

[1]) V. 908. οὐ fehlt in 9 Handschrr.
[2]) V. 912. M. εὑρήσοι.
[3]) V. 913. βροντάς für βροντῆς Blomfield.
[4]) V. 914. Gew. τινάκτειραν νόσον.
[5]) V. 916. M. etc. κακῶν.